BLOOMSBURY

# *Odyssey* 6: 48–159 (here 1–112)

# 2018–2019 Prescription

αὐτίκα δ᾽ Ἠὼς ἦλθεν ἐΰθρονος, ἥ μιν ἔγειρε
Ναυσικάαν εὔπεπλον· ἄφαρ δ᾽ ἀπεθαύμασ' ὄνειρον,
βῆ δ᾽ ἴμεναι διὰ δώμαθ᾽, ἵν᾽ ἀγγείλειε τοκεῦσι,
πατρὶ φίλῳ καὶ μητρί· κιχήσατο δ᾽ ἔνδον ἐόντας·
ἡ μὲν ἐπ᾽ ἐσχάρῃ ἧστο σὺν ἀμφιπόλοισι γυναιξίν,
ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα· τῷ δὲ θύραζε
ἐρχομένῳ ξύμβλητο μετὰ κλειτοὺς βασιλῆας
ἐς βουλήν, ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί.
ἡ δὲ μάλ᾽ ἄγχι στᾶσα φίλον πατέρα προσέειπε·
‘πάππα φίλ᾽, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
ὑψηλὴν εὔκυκλον, ἵνα κλυτὰ εἵματ᾽ ἄγωμαι

ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;’
‘καὶ δὲ σοὶ αὐτῷ ἔοικε μετὰ πρώτοισιν ἐόντα
βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ′ ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ′ ὀπυίοντες, τρεῖς δ′ ἠΐθεοι θαλέθοντες·
οἱ δ′ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ΄ ἔχοντες
ἐς χορὸν ἔρχεσθαι· τὰ δ′ ἐμῇ φρενὶ πάντα μέμηλεν.’
ὣς ἔφατ′· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
πατρὶ φίλῳ· ὁ δὲ πάντα νόει καὶ ἀμείβετο μύθῳ·
‘οὔτε τοι ἡμιόνων φθονέω, τέκος, οὔτε τευ ἄλλου.
ἔρχευ· ἀτάρ τοι δμῶες ἐφοπλίσσουσιν ἀπήνην
ὑψηλὴν εὔκυκλον, ὑπερτερίῃ ἀραρυῖαν.’
ὣς εἰπὼν δμώεσσιν ἐκέκλετο, τοὶ δ′ ἐπίθοντο.

οἱ μὲν ἄρ′ ἐκτὸς ἄμαξαν ἐΰτροχον ἡμιονείην
ὅπλεον, ἡμιόνους θ′ ὕπαγον ζεῦξάν θ′ ὑπ′ ἀπήνῃ·
κούρη δ′ ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινήν.
καὶ τὴν μὲν κατέθηκεν ἐϋξέστῳ επ′ ἀπήνῃ,
μήτηρ δ′ ἐν κίστῃ ἐτίθει μενοεικέ′ ἐδωδὴν
παντοίην, ἐν δ′ ὄψα τίθει, ἐν δ′ οἶνον ἔχευεν
ἀσκῷ ἐν αἰγείῳ· κούρη δ′ ἐπεβήσετ′ ἀπήνης.
δῶκεν δὲ χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
ἧος χυτλώσαιτο σὺν ἀμφιπόλοισι γυναιξίν.
ἡ δ′ ἔλαβεν μάστιγα καὶ ἡνία σιγαλόεντα,
μάστιξεν δ′ ἐλάαν· καναχὴ δ′ ἦν ἡμιόνοιϊν·
αἱ δ′ ἄμοτον τανύοντο, φέρον δ′ ἐσθῆτα καὶ αὐτήν,
οὐκ οἴην, ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.

αἱ δ᾽ ὅτε δὴ ποταμοῖο ῥόον περικαλλέ′ ἵκοντο,
ἔνθ′ ἦ τοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ′ ὕδωρ
καλὸν ὑπεκπρορέει μάλα περ ῥυπόωντα καθῆραι,
ἔνθ′ αἵ γ′ ἡμιόνους μὲν ὑπεκπροέλυσαν ἀπήνης
καὶ τὰς μὲν σεῦαν ποταμὸν πάρα δινήεντα
τρώγειν ἄγρωστιν μελιηδέαạ́ ταὶ δ′ ἀπ′ ἀπήνης
εἵματα χερσὶν ἕλοντο καὶ ἐσφόρεον μέλαν ὕδωρ,
στεῖβον δ′ ἐν βόθροισι θοῶς ἔριδα προφέρουσαι.
αὐτὰρ ἐπεὶ πλῦνάν τε κάθηράν τε ῥύπα πάντα,
ἑξείης πέτασαν παρὰ θῖν′ ἁλός, ἧχι μάλιστα
λάϊγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.
αἱ δὲ λοεσσάμεναι καὶ χρισάμεναι λίπ′ ἐλαίῳ
δεῖπνον ἔπειθ′ εἵλοντο παρ′ ὄχθῃσιν ποταμοῖο,

εἵματα δ᾽ ἠελίοιο μένον τερσήμεναι αὐγῇ.
αὐτὰρ ἐπεὶ σίτου τάρφθεν δμωαί τε καὶ αὐτή,
σφαίρῃ ταί γ᾽ ἄρα παῖζον, ἀπὸ κρήδεμνα βαλοῦσαι·
τῇσι δὲ Ναυσικάα λευκώλενος ἄρχετο μολπῆς.
οἵη δ᾽ Ἄρτεμις εἶσι κατ᾽ οὔρεα ἰοχέαιρα.
ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον,
τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι·
τῇ δέ θ᾽ ἅμα νύμφαι, κοῦραι Διὸς αἰγιόχοιο,
ἀγρονόμοι παίζουσι· γέγηθε δέ τε φρένα Λητώ·
πασάων δ᾽ ὑπὲρ ἥ γε κάρη ἔχει ἠδὲ μέτωπα,
ῥεῖά τ᾽ ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι·
ὣς ἥ γ᾽ ἀμφιπόλοισι μετέπρεπε παρθένος ἀδμής.
ἀλλ᾽ ὅτε δὴ ἄρ᾽ ἔμελλε πάλιν οἶκόνδε νέεσθαι

ζεύξασ' ἡμιόνους πτύξασά τε εἵματα καλά,
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
ὡς Ὀδυσεὺς ἔγροιτο, ἴδοι τ' εὐώπιδα κούρην,
ἥ οἱ Φαιήκων ἀνδρῶν πόλιν ἡγήσαιτο.
σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια·
ἀμφιπόλου μὲν ἅμαρτε, βαθείῃ δ' ἔμβαλε δίνῃ,
αἱ δ' ἐπὶ μακρὸν ἄϋσαν. ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς,
ἑζόμενος δ' ὅρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν·
'ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
ἤ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
ὥς τέ με κουράων ἀμφήλυθε θῆλυς ἀϋτή,
νυμφάων, αἳ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα

BLOOMSBURY

καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.
ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων;
ἀλλ′ ἄγ′, ἐγὼν αὐτὸς πειρήσομαι ἠδὲ ἴδωμαι.’
ὣς εἰπὼν θάμνων ὑπεδύσετο δῖος Ὀδυσσεύς,
ἐκ πυκινῆς δ′ ὕλης πτόρθον κλάσε χειρὶ παχείῃ
φύλλων, ὡς ῥύσαιτο περὶ χροῒ μήδεα φωτός.
βῆ δ′ ἴμεν ὥς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθώς,
ὅς τ′ εἶσ′ ὑόμενος καὶ ἀήμενος, ἐν δέ οἱ ὄσσε
δαίεται· αὐτὰρ ὁ βουσὶ μετέρχεται ἢ ὀΐεσσιν
ἠὲ μετ′ ἀγροτέρας ἐλάφουςά̣ κέλεται δέ ἑ γαστὴρ
μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν·
ὣς Ὀδυσεὺς κούρῃσιν ἐϋπλοκάμοισιν ἔμελλε
μίξεσθαι, γυμνός περ ἐώνά̣ χρειὼ γὰρ ἵκανε.

σμερδαλέος δ′ αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ,

τρέσσαν δ′ ἄλλυδις ἄλλη ἐπ′ ἠϊόνας προὐχούσας·

οἴη δ′ Ἀλκινόου θυγάτηρ μένεạ́ τῇ γὰρ Ἀθήνη

θάρσος ἐνὶ φρεσὶ θῆκε καὶ ἐκ δέος εἵλετο γυίων.

στῆ δ′ ἄντα σχομένη· ὁ δὲ μερμήριξεν Ὀδυσσεύς,

ἢ γούνων λίσσοιτο λαβὼν εὐώπιδα κούρην,

ἦ αὔτως ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι,

λίσσοιτ′, εἰ δείξειε πόλιν καὶ εἵματα δοίη.

ὧς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,

λίσσεσθαι ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι,

μή οἱ γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη.

αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον·

‘γουνοῦμαί σε, ἄνασσαạ́ θεός νύ τις ἦ βροτός ἐσσι;

BLOOMSBURY

εἰ μέν τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,

Ἀρτέμιδί σε ἐγώ γε, Διὸς κούρῃ μεγάλοιο,

εἶδός τε μέγεθός τε φυήν τ᾽ ἄγχιστα ἐΐσκωἄ̣

εἰ δέ τίς ἐσσι βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσι,

τρισμάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ,

τρισμάκαρες δὲ κασίγνητοιἄ̣ μάλα πού σφισι θυμὸς

αἰὲν ἐϋφροσύνῃσιν ἰαίνεται εἵνεκα σεῖο,

λευσσόντων τοιόνδε θάλος χορὸν εἰσοιχνεῦσαν.

κεῖνος δ᾽ αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,

ὅς κέ σ᾽ ἐέδνοισι βρίσας οἶκόνδ᾽ ἀγάγηται.